## HERODOTUS, HISTORIES, 2.120 (BARBOUR P. 98.6-99.4)

Ταῦτα μὲν
Αἰγυπτίων οἱ ἱρέες
ἔλεγον·

ἐγὼ δὲ
τῷ λόγῳ
τῷ περὶ Ἑλένης λεχθέντι
καὶ αὐτὸς προστίθεμαι,
τάδε ἐπιλεγόμενος,
εἰ ἦν Ἑλένη
ἐν Ἰλίῳ,
ἀποδοθῆναι ἂν αὐτὴν
τοῖσι Ἕλλησι
ἤτοι ἑκόντος γε ἢ ἀέκοντος Ἀλεξάνδρου.

οὐ γὰρ δὴ οὕτω γε
φρενοβλαβὴς ἦν ὁ Πρίαμος
οὐδὲ οἱ ἄλλοι
οἱ προσήκοντες αὐτῷ,
ὥστε
τοῖσι σφετέροισι σώμασι
καὶ τοῖσι τέκνοισι
καὶ τῇ πόλι
κινδυνεύειν ἐβούλοντο,
ὅκως Ἀλέξανδρος
Ἑλένῃ συνοικέῃ.

εἰ δέ τοι καὶ ἐν τοῖσι πρώτοισι χρόνοισι
ταῦτα ἐγίνωσκον,
ἐπεὶ πολλοὶ μὲν τῶν ἄλλων Τρώων,
ὁκότε συμμίσγοιεν τοῖσι Ἕλλησι,
ἀπώλλυντο,
αὐτοῦ δὲ Πριάμου οὐκ ἔστι
ὅτε οὐ δύο
ἢ τρεῖς
ἢ καὶ ἔτι πλέους τῶν παίδων
μάχης γινομένης
ἀπέθνησκον,
εἰ χρή
τι τοῖσι ἐποποιοῖσι χρεώμενον
λέγειν,
τούτων δὲ τοιούτων συμβαινόντων
ἐγὼ μὲν ἔλπομαι,
εἰ καὶ αὐτὸς Πρίαμος
συνοίκεε Ἑλένῃ,
ἀποδοῦναι ἂν αὐτὴν
τοῖσι Ἀχαιοῖσι,
μέλλοντά γε δὴ
τῶν παρεόντων κακῶν ἀπαλλαγήσεσθαι.

οὐ μὲν οὐδὲ ἡ βασιληίη
ἐς Ἀλέξανδρον περιήιε,
ὥστε
γέροντος Πριάμου ἐόντος
ἐπ᾽ ἐκείνῳ
τὰ πρήγματα εἶναι,
ἀλλὰ Ἕκτωρ
καὶ πρεσβύτερος καὶ ἀνὴρ
ἐκείνου μᾶλλον ἐὼν
ἔμελλε αὐτὴν
Πριάμου ἀποθανόντος
παραλάμψεσθαι,
τὸν οὐ προσῆκε
ἀδικέοντι τῷ ἀδελφεῷ
ἐπιτρέπειν,
καὶ ταῦτα
μεγάλων κακῶν
δι᾽ αὐτὸν
συμβαινόντων
ἰδίῃ τε αὐτῷ
καὶ τοῖσι ἄλλοισι πᾶσι Τρωσί.

ἀλλ᾽ οὐ γὰρ εἶχον
Ἑλένην ἀποδοῦναι,
οὐδὲ λέγουσι αὐτοῖσι τὴν ἀληθείην
ἐπίστευον οἱ Ἕλληνες,
ὡς μὲν ἐγὼ
γνώμην ἀποφαίνομαι,
τοῦ δαιμονίου παρασκευάζοντος,
ὅκως πανωλεθρίῃ ἀπολόμενοι
καταφανὲς τοῦτο
τοῖσι ἀνθρώποισι
ποιήσωσι,
ὡς τῶν μεγάλων ἀδικημάτων
μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι
παρὰ τῶν θεῶν.

καὶ ταῦτα μὲν
τῇ ἐμοὶ δοκέει
εἴρηται.